# T2 Drei adaptierte Texte: Äsop, NT als docx

### Ὄνον τις ἀγοράζει

Ὄνον γεωργός τις ἀγοράζειν ἐθέλει καὶ ἐπὶ πείρᾳ αὐτὸν λαμβάνει·
καὶ εἰσάγει τὸν ὄνον εἰς τοὺς ἰδίους ὄνους
καὶ ἐπὶ τῆς φάτνης αὐτὸν παρὰ τοὺς ἄλλους παρατάττει.
Ὁ δὲ καταλείπει τοὺς ἄλλους
καὶ παρὰ τὸν ἀργότατον καὶ ἀδηφάγον βαδίζει, ὃς μόνος χωρὶς τῶν ἄλλών ἐστιν, καὶ ἐκεῖ μένει.
ὁ δὲ γεωργὸς, ἐπεὶ αὐτὰ γιγνώσκει, οὐ διατρίβει, ἀλλὰ αὐτὸν πρὸς τὸν δεσπότην ἀπάγει.
ὁ δὲ λέγει· ἆρα οὕτως ἤδη ἱκανή σοι ἡ πεῖρα ἐστίν;·
καὶ ὁ γεωργὸς λέγει· Ἀλλὰ μάλιστα· γιγνώσκω γὰρ ὅτι τῷ ἀχρήστῳ ὁμοῖός ἐστιν ὃν φίλον ἔχειν θέλει.
Ὁ λόγος φαίνει ὅτι ἐκ τῶν ἑταίρων τὸν τοῦ ἀνθρώπου τρόπον γιγνώσκομεν.

*Ὄνον τις ἀγοράσαι μέλλων ἐπὶ πείρᾳ αὐτὸν ἔλαβε· καὶ εἰσαγαγὼν εἰς τοὺς ἰδίους ἐπὶ τῆς φάτνης αὐτὸν ἔστησεν. Ὁ δὲ καταλιπὼν τοὺς ἄλλους παρὰ τῷ ἀργοτάτῳ καὶ ἀδηφάγῳ ἔστη. Καὶ ὡς οὐδὲν ἐποίει, δήσας καὶ ἀπαγαγὼν τῷ δεσπότῃ αὐτὸν ἀπέδωκε. Τοῦ δὲ διερωτῶντος εἰ οὕτως ἀξίαν αὐτοῦ τὴν δοκιμασίαν ἐποιήσατο, ὑποτυχὼν εἶπεν· «Ἀλλ' ἔγωγε οὐδὲν ἐπιδέομαι πείρας· οἶδα γὰρ ὅτι τοιοῦτός ἐστιν ὁποῖον ἐξ ἁπάντων τὸν συνήθη ἐπελέξατο.» Ὁ λόγος δηλοῖ ὅτι τοιοῦτος εἶναί τις ὑπολαμβάνεται ὁποίοις ἂν ἥδηται τοῖς ἑταίροις.*

### Γέρων καὶ θάνατος

Γέρων τις ἐν τῇ χώρᾳ ξύλα κόπτει
καὶ τὸ τῶν ξύλων φορτίον ἐπὶ τῷ ὤμῳ οἴκαδε φέρει.
ἡ δὲ ὁδὸς ἡ οἴκαδε μακρά καὶ πονηρά ἐστιν.
διὰ δὴ τὸν ἀφόρητον πόνον ὁ γέρων ἀπὸ τοῦ ὤμου ἀπορίπτει τὸ φορτίον,
καὶ μᾶλλον μὲν ἀποθνῄσκειν ἢ τὸν χαλεπὸν βίον ἔχειν ἐθέλει.
λέγει δὲ μακρᾷ φωνῇ ἀνὰ τὸν οὐρανόν·
οὐκέτι δυνατός εἰμι πᾶν τὸ ἀφόρητον φορτίον φέρειν,
ἀλλὰ μάλιστα θέλω ὅτι ὁ θάνατός με λύει.
ὁ δὲ Θάνατος αὐτὸς ἀκούει τὸν λόγον καὶ αὐτίκα πρὸς αὐτὸν ἥκει.
τῷ οὖν γέροντι λέγει· τί θέλεις, ὦ ἄνθρωπε;
ὁ δὲ λέγει· ὅτι μοι τὰ ξύλα ἐπὶ τοὺς ὤμους αἴρεις.
Ὁ λόγος φαίνει, ὅτι τοῖς ἀνθρώποις ὁ βίος φίλος ἐστίν,
εἰ καὶ κακῶς ἔχουσιν.

*Γέρων καὶ Θάνατος - Γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε. Διὰ δὲ τὸν κόπον τῆς ὁδοῦ ἀποθέμενος τὸ φορτίον τὸν Θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου φανέντος καὶ πυθομένου δι' ἣν αἰτίαν αὐτὸν παρακαλεῖται, ὁ γέρων ἔφη· «Ἵνα τὸ φορτίον ἄρῃς.» Ὁ μῦθος δηλοῖ ὅτι πᾶς ἄνθρωπος φιλόζωος, [ἐν τῷ βίῳ] κἂν δυστυχῇ.*

### Apostelgeschichte, 8,26 ff.

8.26 Ἄγγελος δὲ κυρίου πρὸς Φίλιππον λέγει·
βάδιζε κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν· ἡ ὁδός ἐστιν ἔρημος.
8.27 ὁ δὲ βαδίζει. καὶ ἰδού, ἄνθρωπος Αἰθίοψ εὐνοῦχος δυνατὸς Κανδάκης τῆς βασιλείας Αἰθιόπων,
ὅς ἐστιν ἐπὶ τοῦ θησαυροῦ, διατρίβει ἐν Ἱερουσαλὴμ καὶ θεὸν θεραπεύει.
8.28 νῦν δὲ τοὺς ἁγίους τόπους καταλείπει ἐν ἅρματι καὶ ἀναγιγνώσκει τὴν γραφὴν τὴν ἁγίαν.
8.29 λέγει δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ· Πρόστρεχε πρὸς ἐκεῖνο τὸ ἅρμα.
8.30 προστρέχει δὲ ὁ Φίλιππος καὶ ἀκούει, ὡς ὁ εὐνοῦχος ἀναγιγνώσκει τὴν γραφήν.
ὁ δὲ Φίλιππος λέγει· Ἆρά γε γιγνώσκεις ἃ ἀναγιγνώσκεις;
8.31 Ὁ δὲ λέγει· ἴσως οὐ γιγνώσκω, ἐπεὶ βοηθὸν οὐκ ἔχω.
παρακαλῶ, ἧκε ἐπὶ τὸ ἅρμα καὶ δίδασκέ με τὴν γραφὴν γιγνώσκειν.
8.32 Τὸ δὲ κεφάλαιον τῆς γραφῆς, ἣν ἀναγιγνώσκει, ἐστίν,
ὡς πρόβατον ἐπὶ σφαγὴν ἥκει καὶ ἐναντίον τοῦ γεωργοῦ ἄφωνός ἐστιν
καὶ οὐκ ἀνοίγει τὸ στόμα, ἀλλὰ ταπεινός ἐστιν.

26Ἄγγελος δὲ κυρίου ἐλάλησεν πρὸς Φίλιππον λέγων · ἀνάστηθι ϗ πορεύου κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἰερουσαλὴμ εἰς Γάζαν,
αὕτη ἐστὶν ἔρημος. 27καὶ ἀναστὰς ἐπορεύθη. ϗ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος δυνάστης Κανδάκης βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς
ἐληλύθει προσκυνήσων εἰς Ἰερουσαλήμ, 28ἦν τε ὑποστρέφων ϗ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ ϗ ἀνεγίνωσκεν τὸν προφήτην Ἠσαΐαν. 29εἶπεν δὲ τὸ πνεῦμα
τῷ Φιλίππῳ · πρόσελθε ϗ κολλήθητι τῷ ἅρματι τούτῳ. 30προσδραμὼν δὲ ὁ Φίλιππος ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος Ἠσαΐαν τὸν προφήτην ϗ εἶπεν · ἆρά γε
γινώσκεις ἃ ἀναγινώσκεις; 31ὁ δὲ εἶπεν · πῶς γὰρ ἂν δυναίμην ἐὰν μή τις ὁδηγήσει με; παρεκάλεσέν τε τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. 32ἡ δὲ
περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν ἦν αὕτη ·
ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη
καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος,
οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.
33Ἐν τῇ ταπεινώσει [αὐτοῦ] ἡ κρίσις αὐτοῦ ἤρθη ·
τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;
ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.